κῶμαι αὐτῶν ἐροῦσίν σοι Εἰς προνομὴν τοῦ προνομεῦσαι σὺ
ἔρχῃ καὶ σκυλεῦσαι σκῦλα; συνήγαγες συναγωγήν σου λαβεῖν ἀρ-
γύριον καὶ χρυσίον, ἀπενέγκασθαι κτῆσιν τοῦ σκυλεῦσαι σκῦλα;
[14]διὰ τοῦτο προφήτευσον, υἱὲ ἀνθρώπου, καὶ εἰπὸν τῷ Γωγ Τάδε 14
λέγει κύριος Οὐκ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐν τῷ κατοικισθῆναι τὸν λαόν
μου Ισραηλ ἐπ᾽ εἰρήνης ἐγερθήσῃ; [15]καὶ ἥξεις ἐκ τοῦ τόπου σου 15
ἀπ᾽ ἐσχάτου βορρᾶ καὶ ἔθνη πολλὰ μετὰ σοῦ, ἀναβάται ἵππων
πάντες, συναγωγὴ μεγάλη καὶ δύναμις πολλή, [16]καὶ ἀναβήσῃ ἐπὶ 16
τὸν λαόν μου Ισραηλ ὡς νεφέλη καλύψαι γῆν· ἐπ᾽ ἐσχάτων τῶν
ἡμερῶν ἔσται, καὶ ἀνάξω σε ἐπὶ τὴν γῆν μου, ἵνα γνῶσιν πάντα
τὰ ἔθνη ἐμὲ ἐν τῷ ἁγιασθῆναί με ἐν σοὶ ἐνώπιον αὐτῶν. [17]τάδε 17
λέγει κύριος κύριος τῷ Γωγ Σὺ εἶ περὶ οὗ ἐλάλησα πρὸ ἡμερῶν
τῶν ἔμπροσθεν διὰ χειρὸς τῶν δούλων μου προφητῶν τοῦ Ισραηλ
ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ἔτεσιν τοῦ ἀγαγεῖν σε ἐπ᾽ αὐτούς.
[18]καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐν ἡμέρᾳ, ᾗ ἂν ἔλθῃ Γωγ ἐπὶ τὴν 18
γῆν τοῦ Ισραηλ, λέγει κύριος κύριος, ἀναβήσεται ὁ θυμός μου
[19]καὶ ὁ ζῆλός μου. ἐν πυρὶ τῆς ὀργῆς μου ἐλάλησα Εἰ μὴν ἐν τῇ 19
ἡμέρᾳ ἐκείνῃ ἔσται σεισμὸς μέγας ἐπὶ γῆς Ισραηλ, [20]καὶ σεισθή- 20
σονται ἀπὸ προσώπου κυρίου οἱ ἰχθύες τῆς θαλάσσης καὶ τὰ πε-
τεινὰ τοῦ οὐρανοῦ καὶ τὰ θηρία τοῦ πεδίου καὶ πάντα τὰ ἑρπετὰ
τὰ ἕρποντα ἐπὶ τῆς γῆς καὶ πάντες οἱ ἄνθρωποι οἱ ἐπὶ προσώπου
τῆς γῆς, καὶ ῥαγήσεται τὰ ὄρη, καὶ πεσοῦνται αἱ φάραγγες, καὶ
πᾶν τεῖχος ἐπὶ τὴν γῆν πεσεῖται. [21]καὶ καλέσω ἐπ᾽ αὐτὸν πᾶν 21
φόβον, λέγει κύριος· μάχαιρα ἀνθρώπου ἐπὶ τὸν ἀδελφὸν αὐτοῦ
ἔσται. [22]καὶ κρινῶ αὐτὸν θανάτῳ καὶ αἵματι καὶ ὑετῷ κατακλύζοντι 22
καὶ λίθοις χαλάζης, καὶ πῦρ καὶ θεῖον βρέξω ἐπ᾽ αὐτὸν καὶ ἐπὶ
πάντας τοὺς μετ᾽ αὐτοῦ καὶ ἐπ᾽ ἔθνη πολλὰ μετ᾽ αὐτοῦ. [23]καὶ με- 23
γαλυνθήσομαι καὶ ἁγιασθήσομαι καὶ ἐνδοξασθήσομαι καὶ γνωσθή-
σομαι ἐναντίον ἐθνῶν πολλῶν, καὶ γνώσονται ὅτι ἐγώ εἰμι κύριος.
[1]Καὶ σύ, υἱὲ ἀνθρώπου, προφήτευσον ἐπὶ Γωγ καὶ εἰπόν Τάδε 39
λέγει κύριος Ἰδοὺ ἐγὼ ἐπὶ σὲ Γωγ ἄρχοντα Ρως, Μοσοχ καὶ Θοβελ
[2]καὶ συνάξω σε καὶ καθοδηγήσω σε καὶ ἀναβιβῶ σε ἀπ᾽ ἐσχάτου 2
τοῦ βορρᾶ καὶ ἀνάξω σε ἐπὶ τὰ ὄρη τοῦ Ισραηλ. [3]καὶ ἀπολῶ τὸ 3
τόξον σου ἀπὸ τῆς χειρός σου τῆς ἀριστερᾶς καὶ τὰ τοξεύματά

13 κωμαι αυτων] χωραι αυτης A(†) | εις προν. / του προν.] tr. A† | κτησιν] -σεις A† || 14 κυριος B†] + κυριος ο θεος A: cf. 10 | εγερθηση] pr. εξ A || 17 κυριος κυριος: cf. 37 21 | προ] αφ A | προφητων B pau.] pr. των rel. αγαγειν] pr. αν A || 18 του > B | κυριος κυριος: cf. 10 || 19 γης ισρ.] της γης του ισρ. A || 20 κυριου] pr. του A | ραγησονται AC || 21 αυτον] αυτο και B† | παν: sic BA, cf. Iud. 7 4 B | φοβον B†] + μαχαιρας rel.: cf. 𝔐 κυριος B†] + κυριος A: cf. 2 4

39 1 κυριος B†] + κυριος A: item in 5. 20, cf. 7 24 | μοσοχ: cf. 38 2 | θοβερ A† hic, non in 38 2 || 2 απ] επ B | αναξω] συναξω A† || 3 απο 1°] εκ A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/845 UNIVERSITÄT LEIPZIG